# Παράκληση εις τον Όσιο Πατάπιον




Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ' (142) Ψαλμόν.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησιν μου ἐν τῆ ἀληθείᾳ σου, εἰσάκουσον μου ἐν τῆ δικαιοσύνη σοῦ καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιον σου πᾶς ζῶν. ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν ἐπ' ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχύ εἰσάκουσον μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου μή ἀποστρέψῃς τό πρόσωπον σου ἀπ' ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί σοί ἤλπισα γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μοῦ ἐξελοῦ μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἶ ὁ Θεός μοῦ τό πνεῦμα σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῆ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματος σου, Κύριε, ζήσεις μέ, ἐν τῆ δικαιοσύνη σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλος σου εἰμι.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β'. Πάντα τά ἔθνη ἐκύκλωσαν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ'. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα το Τροπάριο.

Ἦχος δ''. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.
Τούς προσιόντας τῷ σεπτῷ σου Λειψάνῳ, καί αἰτουμένους τήν θερμήν σου πρεσβείαν, θαυματουργέ Πατάπιε, Πατήρ ἡμῶν, πάσης ἀπολύτρωσαι, ἐπηρείας καί βλάβης, καί παντοίων θλίψεων, καί δεινῶν νοσημάτων, καί ἐν εἰρήνη φύλαττε ἡμᾶς, οἵα προστάτης ἡμῶν συμπαθέστατος.

Δόξα. Καί νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν πότε Θεοτόκε, τάς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμή γάρ Σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν´ (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημα μου. Ἐπί πλεῖον πλῦνόν με ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιον μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιον Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαι Σε. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας, τά ἄδηλα καί τά κρύφια τῆς σοφίας Σου ἐδήλωσας μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπον Σου ἀπό τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή ἀπορρίψῃς με ἀπό τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μή ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου,

ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τά χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσιν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σίων καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριον Σου μόσχους.

Εἶτα ὁ Κανών

Ὠδή ἀ'. Ἦχος πλ. δ''. Ὑγράν διοδεύσας.
Προστάτην ὑπάρχων καί πρεσβευτής, ἡμῶν πρός τόν Κτίστην, καθικέτευε ἐκτενῶς, Πατάπιε, ῥύεσθαι κινδύνων, καί πολυτρόπων ἡμᾶς περιστάσεων.

Ἁγίως ἀνύσας σου τήν ζωήν, ἡμᾶς ἁγιάζεις, καί λυτροῦσαι πάσης ὀργῆς, τῇ ἐκ τοῦ ἁγίου σου Λειψάνου, προερχομένη Πατάπιε χάριτι.

Θεράπων Κυρίου ὡς ἀληθής, θεράπευσον Πάτερ, τάς ὀδύνας τῶν καρδιῶν, καί τάς τῶν σωμάτων ἀλγηδόνας, τῶν προσιόντων θερμῶς τῇ πρεσβεία σου.

Θεοτοκίον.
Ὡς Μήτηρ τοῦ πάντων Δημιουργοῦ, καί τῆς εὐσπλαγχνίας, ἀνεξάντλητος θησαυρός, σπλαγχνίσθητι Κόρη τοῖς σοῖς δούλοις, καί τήν κατ' ἄμφω ὑγείαν πρυτάνευσον.

Ὠδή γ'. Οὐρανίας ἁψῖδος.
Νοερῶς ἐποπτεύων, ὡς συμπαθῆς Ὅσιε, ταύτην τήν ἁγίαν Μονήν σου, τήν καταφεύγουσαν ἀεί τῇ σκέπη σου, μή διαλίπῃς Θεόφρον, ἐξ αὐτῆς πάν σκάνδαλον πόρρω ποιούμενος.

Ἡ ἁγία σορός σου, ἁγιασμόν Ἅγιε, Πνεύματι Ἁγίῳ βλυστάνει καθαγιάζουσα, ἡμῶν τά πρόσωπα, καί τάς ψυχάς Θεοφόρε, καί παθῶν καθαίρουσα ἅπαντα βόρβορον.

Μή ἐλλίπῃς πρεσβεύειν, ὑπέρ ἡμῶν Ὅσιε, δοῦναι τῶν πταισμάτων τήν λύσιν, καί ἀπολύτρωσιν, πάσης στενώσεως, καί θλιβερῶν τῶν τοῦ βίου, τοῖς πιστῶς προστρέχουσι τῇ ἀντιλήψει σου.

Θεοτοκίον.
Απειράνδρως τεκοῦσα, τόν τοῦ παντός αἴτιον, καί μετά τόν ἄφραστον τόκον,

Παρθένος μείνασα, ἁγνόν με φύλαττε, ψυχή νοΐ καί καρδία, μόνη Ἀειπάρθενε, πάντων βοήθεια.

Διάσωσον πάσης ἀνάγκης καί θλίψεων τῶν ἐν βίῳ, τούς ἐν πίστει τῇ σῇ πρεσβεία προστρέχοντας, καί σε τιμῶντας, Πατάπιε Θεοφόρε.

Ἐπίβλεψον, ἐν εὐμενεία Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Αἴτησις καί τό Κάθισμα.
Ἦχος β'. Πρεσβεία θερμή.
Πρεσβεία τῇ σῇ, Πατάπιε μακάριε, ἐν πίστει θερμῇ, ἡ ποίμνη σου προστρέχουσα ἐπηρειῶν τοῦ ὄφεως, καί σκανδάλων πικρῶν απαλλάττεται˙ ᾗ δίδου εὐστάθειαν ζωῆς, καί θείας ἀγάπης πῦρ τό άϋλον.

Ὠδή δ''. Εἰσακήκοα Κύριε.
Συμπαθῶς ἴδε Ἅγιε, τούς ἐν εὐλαβείᾳ τῇ θεία θήκη σου, παρεστῶτας ὦ Πατάπιε, καί παράσχου τούτοις τά αἰτήματα.

Παθημάτων τόν καύσωνα, καί ἀσθενειῶν τήν φλόγα κατάσβεσον, δρόσῳ Πάτερ τῆς σῆς χάριτος, καί χαράν παράσχου τοῖς ἱκέταις σου.

Ἀποδίωξον Ἅγιε, τόν κατά τῆς Μάνδρας σου ὠρυόμενον, νοητόν ἐχθρόν καί βύθιον, τήν σήν εὐλογίαν ταύτῃ δωρούμενος.

Θεοτοκίον.
Τόν Θεόν ὅν ἐκύησας, Ἄχραντε Παρθένε δι' ἀγαθότητα, καθικέτευε δωρήσασθαι, τῶν πλημμελημάτων ἡμῖν ἄφεσιν.

Ὠδή ε̃'. Φώτισον ἡμᾶς.
Ἄνωθεν ἡμᾶς, τά σά τέκνα Πάτερ Ὅσιε, μή ἐλλίπῃς ἐπιβλέπειν πατρικῶς, καί παρέχειν τήν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Πλήρου συμπαθώς, τάς αἰτήσεις Πάτερ Ὅσιε, τῶν τῇ Μάνδρα σου Πατάπιε, ἀεί συρρεόντων, πανταχόθεν μετά πίστεως.

Ἴασιν ψυχῶν, καί σωμάτων ἀνακαίνισον, ἐκ τῆς θήκης σου λαμβάνομεν αεί˙ διά τοῦτο ὡς προστάτην εὐφημοῦμεν σε.

Θεοτοκίον.

Ἔχουσα πολλήν, παρρησίαν πρός Θεόν ἔτεκες, οἷα Μήτηρ τούτου Κόρη ἀληθής, καθικέτευε σωθῆναι τάς ψυχάς ἡμῶν.

Ὠδή ς’. Τήν δέησιν.
Ῥυσθῆναι πειρατηρίων τοῦ βίου, καί τυχεῖν ἡμᾶς γαλήνης βαθείας, καί εὐσπλαγχνίας ῥανίδας τῆς θείας, ἡμῖν δοθῆναι τόν Κτίστην ἱκέτευε, Πατάπιε θαυματουργέ, Γερανείων πυρσός ὁ ἀκοίμητος.

Ὑπάρχων πλήρης φωτός οὐρανίου, ὡς θεράπων τοῦ Θεοῦ θεοφόρος, τόν σκοτασμόν τῶν παθῶν ἡμῶν λῦσον, καί ἀπαθείας ἡμέραν εὐφρόσυνον, ἀνάτειλον ἡμῖν σοφέ, φωτοφόροις λιταῖς σου πρός Κύριον.

Οὐράνιον ἀληθῶς εὐωδίαν, ἡ σορός τοῦ σου Λειψάνου παρέχει, καί δυσωδίαν παθῶν ἀκαθάρτων, καί πονηρίας διώκει τά πνεύματα, ἡ προσιόντες εὐλαβῶς, πᾶσαν χάριν καρπούμεθα Ἅγιε.

Θεοτοκίον.
Ὑψίστου περιφανέστατε θρόνε, Παντευλόγητε Ἁγνῇ Θεοτόκε, ἐκ κατωτάτου με λάκκου πταισμάτων, πρός μετανοίας ζωήν με ἀνάγαγε, καί σῶσον με ἐπιφοράς, τῶν κακίστων δαιμόνων Πανάμωμε.

Διάσωσον, πάσης ἀνάγκης καί θλίψεων τῶν ἐν βίῳ τούς ἐν πίστει τῇ σῇ πρεσβεῖα προστρέχοντας, καί σε τιμῶντας Πατάπιε Θεοφόρε.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

Αἴτησις καί τό Κοντάκιον.
Ἦχος β’. Τοῖς τῶν αἱμάτων σου.
Τῇ κραταιᾷ προστασία σου σπεύδοντες, ὡς εἰς λιμένα γαλήνιον Ὅσιε, κυμάτων τοῦ βίου λυτρούμεθα, καί πάσης ζάλης δεινῶν περιστάσεων˙ διό τήν σήν χάριν κηρύττομεν.

Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ὁ ἀνήρ ὁ φοβούμενος τόν Κύριον...

Εὐαγγέλιον κατά Ματθαῖον.
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταίς˙ Πάντα μοι παρεδόθη ὑπό τοῦ Πατρός μου˙ καί οὐδείς ἐπιγιγνώσκει τόν Υἱόν, ειμή ὁ Πατήρ˙ οὐδέ τόν Πατέρα τις

ἐπιγιγνώσκει, εἰμή ὁ Υἱός, καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ’ ὑμᾶς, καί μάθετε ἀπ’ ἐμοῦ, ὅτι πρᾶος εἰμί, καί ταπεινός τῆ καρδία˙ καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γάρ ζυγός μου χρηστός, καί τό φορτίον μου ἐλαφρόν ἐστίν.

Δόξα.
Ταῖς τοῦ Οσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Μέγαν ἀντιλήπτορα, καί βοηθόν ἐν ἀνάγκαις, ἔχοντες σε Ὅσιε, πάντοτε προστρέχομεν τῆ σή χάριτι˙ πᾶσι γάρ παρέχεις, τῆς σής βοηθείας, τά σωτήρια γνωρίσματα, δεινῶν λυτρούμενος, καί ὀδυνηρῶν περιστάσεων, τά τέκνα σου ἑκάστοτε, καί τούς τῷ λειψάνῳ σου σπεύδοντος. Ἀλλά μή ἐλλίπῃς, ἡμᾶς ἐπερχομένων συμφορῶν, ἀπολυτροῦσθαι Πατάπιε, οἷα συμπαθέστατος.

Σῶσον ὁ Θεός τόν λαόν σου...

Ὠδή ζ’. Οἱ ἐκ τῆς Ἰουδαίας .
Ἀνωτέραν ἐκ πάσης, χαλεπῆς ἐπινοίας τοῦ πολεμήτορος, Πατάπιε παμμάκαρ, τήν Μάνδρα σου συντήρει, τήν ὡς μέγα προσφύγιον, καταπλουτοῦσαν σοφέ, τό θεῖον Λείψανον σου.

Μετά πίστεως πλείστης, καί πολλῆς εὐλαβείας Πάτερ τούς ἥκοντας, Μονῇ σου τῆ ἁγία, δέχου ἐν εὐμενεία, οἷα πλήρης χρηστότητος, καί δίδου τούτοις σοφέ, τάς πατρικάς σου δόσεις.

Ἡ πρεσβεία σου Πάτερ, ὀχυρώτατον τεῖχος καί μέγα στήριγμα, γενέσθω τοῖς σοῖς δούλοις, ἀπείργουσα ἐφόδους, χαλεπᾶς, τοῦ ἀλάστορος, τοῦ μαινομένου ἀεί, κατά τῶν ἱκετῶν σου.

Θεοτοκίον.

Νεκρωθείς τῇ κακία, σοι προσφεύγω Παρθένε, θερμοῖς ἐν δάκρυσιν˙ ἀλλ' ὡς ζωήν τεκοῦσα, Χριστόν τόν Ζωοδότην, τήν καρδίαν μου ζώωσον, καί λάμπρυνόν μου τόν νοῦν, φωτί τῆς μετανοίας.

Ὠδή ἡ'. Τόν Βασιλέα.
Γέρας καί πλοῦτον, καί θησαυρόν ἀφθαρσίας, τό σόν Λείψανον ἡ σή Μονή πλουτοῦσα, ἐξ αὐτοῦ λαμβάνει, χαράν καί εὐφροσύνην.

Ἔπιδε Πάτερ, ἐξ οὐρανίων ἁψίδων, καί ἐπάκουσον ἡμῶν τῶν ἱκετῶν σου, τῶν ἐπιζητούντων, τήν σήν ἐπιστασίαν.

Ῥῶσιν παράσχου, κατά ψυχήν τε καί σῶμα, τοῖς προστρέχουσι τῷ θείῳ σου Λειψάνῳ, καί τήν σήν αἰτοῦσι, Πατάπιε πρεσβείαν.

Θεοτοκίον.
Ἁγνῇ Παρθένε, κόσμου παντός προστασία, προστατεύουσα μή παύσῃ τῶν σῶν δούλων, καθ' ἑκάστην ὥραν, ἄχρι τερμάτων βίου.

Ὠδή θ'. Κυρίως Θεοτόκον.
Σκηνάς τάς οὐρανίους, σύν Ἀγγέλων δήμοις, περιπολεύων Πατάπιε Ἅγιε, ὑπέρ ἡμῶν ἐκδυσώπει τόν Πανοικτίρμονα.

Ιάτρευσον παμμάκαρ, τάς ἡμῶν καρδίας, τάς πληγωθείσας τῷ βέλει τοῦ ὄφεως, τῇ χάριτι σου εὐφραίνων ἡμᾶς Πατάπιε.

Μετόχους ἡμᾶς δεῖξον, μετά τέλος Πάτερ, οἷα πατήρ τά σά τέκνα Πατάπιε, τῆς τοῦ Χριστοῦ βασιλείας ταῖς σαῖς δεήσεσι.

Ὁ μέγας ἡμῶν ῥύστης, καί θερμός προστάτης, ἐν πάσῃ ὥρα Πατάπιε Ὅσιε, μή διαλίπῃς φυλάττειν ἡμᾶς δεόμεθα.

Θεοτοκίον.
Ὑψίστου χαῖρε Μήτηρ, Κεχαριτωμένη, τῆς ἀϊδίου χαράς καταξίωσον, τούς ὁλικῶς ἀφορῶντας πρός σε Πανάμωμε.

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καί τά παρόντα Μεγαλυνάρια,
Λουτρακίου στέφανος καί τιμῇ, τῆς ὑδρωπικίας, καί καρκίνου θεραπευτά, Πατάπιε Θεόφρον, τῶν Γερανείων δόξα, πρέσβευε τῷ Κυρίῳ ὑπέρ τῶν δούλων σου.

Τόν ἐν πολιτεία ἀγγελική, λάμψαντα ἐν κόσμῳ, ὡς ἀστέρα περιφανῆ, καί θαυμάτων χάριν, θεόθεν εἰληφότα, Πατάπιον τόν μέγαν ὕμνοις τιμήσωμεν.

Δύναμιν πατήσας τήν τοῦ ἐχθροῦ, ἀσκήσει συντόνῳ, καί φρονήματι καρτερῶ, λαμπρῶς ἐδοξάσθης, Πατάπιε τρισμάκαρ, καί σῴζεις ἐκ κινδύνων τούς προσιόντας σοι.

Χαίροις τῆς Αἰγύπτου θεῖος βλαστός, χαίροις Γερανείων, θεοδώρητος θησαυρός˙ χαίροις Λουτρακίου, καί πάσης Κορινθίας, ἀντίληψις καί κλέος Πάτερ Πατάπιε.

Χάριν ἀναβλύζει ἡ σή σορός, καί ἰᾶται πάθη, καί εὐφραίνει πᾶσαν ψυχήν˙ ὅθεν προσιόντες, αὐτῇ μετ’ εὐλαβείας, ἁγιασμοῦ τοῦ θείου, Πάτερ πληρούμεθα.

Δίδου τά αἰτήματα συμπαθῶς, τοῖς ἁπανταχόθεν, προσιοῦσι πίστει θερμή, τῆ σεπτῇ Μονῇ σου, Πατάπιε παμμάκαρ, ἰώμενος τούς πόνους ψυχῆς καί σώματος.

Μέγαν σε προστάτην ἡ σή Μονή, ἔχουσα παμμάκαρ, πάσης ῥύεται προσβολής˙ ἥν ἀεί ἐκ πάσης, μανίας τοῦ Βελίαρ, ἀλώβητον συντήρει Πάτερ Πατάπιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματος σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί…

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομα σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομα Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαγχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Τό Ἀπολυτίκιον. Ἦχος ἁ’.
Γερανείων τό κλέος, Κορινθίας τό καύχημα, καί Μοναζουσῶν νῦν προστάτης, ἀνεδείχθης Πάτερ Πατάπιε. Ἀσκήσεσι νηστείαις προσευχαῖς, νῦν ἔχεις παρρησίαν πρός Θεόν, ἀδιαλείπτως ἱκετεύειν ὑπέρ ἡμῶν, τῶν κατακρίτων δούλων σου. Δόξα τῷ δοξασθέντι διά σου, δόξα τῷ σε ἐνισχύσαντι, δόξα τῷ φωτίσαντι ἡμᾶς διά τῆς σής ἀσκήσεως.

Ἐκτενής καί Ἀπόλυσις, μεθ’ ἥν ψάλλομεν τά ἑξῆς

Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.
Πάσης τοῦ ἐχθροῦ ἐπιβουλῆς, καί ἐπιφορῶν καί κινδύνων καί περιστάσεων.
Ἅγιε Πατάπιε, τῇ ἀντιλήψει σου, ἀβλαβεῖς ἡμᾶς φύλαττε, ἄφεσιν πταισμάτων, ἅπασιν αἰτούμενος, παρά Χριστοῦ τοῦ Θεοῦ, ἔχων πρός αὐτόν παρρησίαν˙ ὦ μή διαλίπῃς πρεσβεύων, ἶνα βίον ἥσυχον διάγωμεν.

Πάντες οἱ ἐκ νόσων χαλεπῶν, καί παντοίων ἄλλων κινδύνων δεινῶς θλιβόμενοι, νῦν ἔνθα ἰάματα θαυματοβρύτου σοροῦ, Παταπίου ἐκβλύζουσιν, ὡς ῥεῖθρα Νειλῷα, σπεύδοντες προσπέσωμεν, γονυκλινώς ἐν κλαυθμῷ˙ ῥῦσαι ἐκβοῶντες σούς δούλους, ἐκ πειρατηρίων καί νόσων, καί παντοίων θλίψεων Πατάπιε.

Δέσποινα πρόσδεξαι τάς δεήσεις τῶν δούλων Σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστέ ὅ Θεός ἡμῶν ἐλέησον ἡμᾶς.
’Ἀμήν.

Πατάπιε, δέησιν ἀπο καρδίας
Γερασίμου πρόσδεξαι, ἣν σοι προσάγει